ἐν Γαλααδ καὶ οἱ ἐν τῇ Γαλιλαίᾳ ὑπερεκέρασαν αὐτοὺς πληγῇ με-
γάλῃ, ἕως οὗ παρῆλθον Δαμασκὸν καὶ τὰ ὅρια αὐτῆς. [6]οἱ δὲ λοιποὶ 6
οἱ κατοικοῦντες Βαιτυλουα ἐπέπεσαν τῇ παρεμβολῇ Ασσουρ καὶ
ἐπρονόμευσαν αὐτοὺς καὶ ἐπλούτησαν σφόδρα. [7]οἱ δὲ υἱοὶ Ισραηλ 7
ἀναστρέψαντες ἀπὸ τῆς κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶ-
μαι καὶ ἐπαύλεις ἐν τῇ ὀρεινῇ καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύ-
ρων, ἦν γὰρ πλῆθος πολὺ σφόδρα.
[8]Καὶ Ιωακιμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία τῶν υἱῶν Ισραηλ 8
οἱ κατοικοῦντες ἐν Ιερουσαλημ ἦλθον τοῦ θεάσασθαι τὰ ἀγαθά,
ἃ ἐποίησεν κύριος τῷ Ισραηλ, καὶ τοῦ ἰδεῖν τὴν Ιουδιθ καὶ λα-
λῆσαι μετ᾽ αὐτῆς εἰρήνην. [9]ὡς δὲ εἰσῆλθον πρὸς αὐτήν, εὐλόγησαν 9
αὐτὴν πάντες ὁμοθυμαδὸν καὶ εἶπαν πρὸς αὐτήν Σὺ ὕψωμα Ιερου-
σαλημ, σὺ γαυρίαμα μέγα τοῦ Ισραηλ, σὺ καύχημα μέγα τοῦ γένους
ἡμῶν· [10]ἐποίησας ταῦτα πάντα ἐν χειρί σου, ἐποίησας τὰ ἀγαθὰ 10
μετὰ Ισραηλ, καὶ εὐδόκησεν ἐπ᾽ αὐτοῖς ὁ θεός· εὐλογημένη γίνου
παρὰ τῷ παντοκράτορι κυρίῳ εἰς τὸν αἰῶνα χρόνον. καὶ εἶπεν πᾶς
ὁ λαός Γένοιτο. [11]καὶ ἐλαφύρευσεν πᾶς ὁ λαὸς τὴν παρεμβολὴν 11
ἐφ᾽ ἡμέρας τριάκοντα· καὶ ἔδωκαν τῇ Ιουδιθ τὴν σκηνὴν Ολοφέρ-
νου καὶ πάντα τὰ ἀργυρώματα καὶ τὰς κλίνας καὶ τὰ ὁλκεῖα καὶ
πάντα τὰ κατασκευάσματα αὐτοῦ, καὶ λαβοῦσα αὐτὴ ἐπέθηκεν ἐπὶ
τὴν ἡμίονον αὐτῆς καὶ ἔζευξεν τὰς ἁμάξας αὐτῆς καὶ ἐσώρευσεν
αὐτὰ ἐπ᾽ αὐτῶν. [12]καὶ συνέδραμεν πᾶσα γυνὴ Ισραηλ τοῦ ἰδεῖν 12
αὐτὴν καὶ εὐλόγησαν αὐτὴν καὶ ἐποίησαν αὐτῇ χορὸν ἐξ αὐτῶν,
καὶ ἔλαβεν θύρσους ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔδωκεν ταῖς γυναιξὶν
ταῖς μετ᾽ αὐτῆς· [13]καὶ ἐστεφανώσαντο τὴν ἐλαίαν, αὐτὴ καὶ αἱ 13
μετ᾽ αὐτῆς, καὶ προῆλθεν παντὸς τοῦ λαοῦ ἐν χορείᾳ ἡγουμένη
πασῶν τῶν γυναικῶν, καὶ ἠκολούθει πᾶς ἀνὴρ Ισραηλ ἐνωπλισμέ-
νοι μετὰ στεφάνων καὶ ὕμνουν ἐν τῷ στόματι αὐτῶν. [14]καὶ ἐξῆρχεν 14
Ιουδιθ τὴν ἐξομολόγησιν ταύτην ἐν παντὶ Ισραηλ, καὶ ὑπερεφώνει
πᾶς ὁ λαὸς τὴν αἴνεσιν ταύτην· [1]καὶ εἶπεν Ιουδιθ 16

Ἐξάρχετε τῷ θεῷ μου ἐν τυμπάνοις,
ᾄσατε τῷ κυρίῳ ἐν κυμβάλοις,
ἐναρμόσασθε αὐτῷ ψαλμὸν καὶ αἶνον,
ὑψοῦτε καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ,

5 γαλααδ] pr. τη A | πληγην μεγαλην S | και ult.] κατα S† || 7 επαυλεις] αι πολεις SA (+ αι S) || 8 ηλθον > S*† | την > A | λαλησαι] pr. του *SL*† || 9 εισηλθον(A† -θαν) προς αυτην] εξηλθαν πρ. αυ. S(†), εξηλθε προς αυτους *L* 58† | συ $1^{0}$] + ει S 58† || 10 ταυτα παντα] tr. B† | εποιησας $2^{0}$] ευ ποιησας A† | ευδοκησεν] -σαι B† || 11 πας > SA | κατασκευασματα SA 58†] κατα > rel. | αυτη] -τα S | επεθηκεν] επ > S† | επ] μετ A || 12 αυτην και εποι. > A† | αυτων] εαυ. S† | ελαβον S*† | μεθ αυτης A || 13 εστεφανωσατο A | αι] οι A | υμνων BA || 14 εν > $SL^{p}$†
16 1 κυριω] + μου SA | και αινον] καινον A